Notes du mont Royal
www.notesdumontroyal.com

Cette œuvre est hébergée sur « *Notes du mont Royal* » dans le cadre d'un exposé gratuit sur la littérature.

SOURCE DES IMAGES
Google Livres

## EX SVIDA.

Tyrtæus, Archimbroti filius Lacon aut Milesius, Elegiarum scriptor, & tibicen, qui carminibus suis fertur Lacedæmoniis, cùm aduersus Messenios bellum gererēt, victoriæ author fuisse. Est aūt vetustiss. vtpote qui eodē tempore cum septē (qui vocantur) sapientibus vixerit: aut etiam antiquior. Floruit saltem circa 35. Olymp. Scripsit præcepta vitæ versibus Elegiacis, & carmina de bello libro 55.

## EX TYRTÆO,

### *De virtute.*

*NON memorandus mihi vir, nec in pretio habendus videtur,*
*Seu virtutis pedum seu gratia lucta:*
*Neque si Cyclopum habeat magnitudinem & robur,*
*Et currendo vincat Thracium Aquilonem.*
*Et forma sit vel ipso Tithono præstantior,*
*Et locupletior quàm aut Midas aut Cinyras reges*
*Neque si Tantalidem Pelopem regno vincat,*
*Linguámque Adrasti suauissimam habeat:*
*Neque si gloriā omnē præter bellicā fortitudinem habeat.*
*Non enim vir bonus est in bello,*
*Si non sustineat cadem videre cruentam,*
*Et propius hostem stare cupiat.*
*Hæc virtus est hoc optimum inter homines præmium,*
*Et maximè decorat virum iuuenem, à quo geritur.*
*Commune hoc bonum est ciuitati, & uniuerso populo,*
*Si quis vir progressus inter pugnantes-in-prima-acie*
*Constãter, turpísq; fugæ prorsus obliuiscatur, (maneat,*
*Vitam & animum patientem obijciens periculo.*

## ΕΚ ΤΩΝ ΣΟΥΙΔΑ.

Τυρταῖος Ἀρχεμβρότου, Λάκων ἢ Μιλήσιος, ἐλεγειοποιὸς, καὶ αὐλητὴς, ὃν λόγος τοῖς μέλεσι χρησάμενον Λακεδαιμονίους πολεμοῦντας Μεσσηνίοις ἐπικρατεστέρους ποιῆσαι. ἔστι δὲ παλαιότατος, σύγχρονος τοῖς ἑπτὰ κληθεῖσι σοφοῖς. ἢ καὶ παλαίτερος, ἤκμαζε γοῦν κατὰ τὴν λέ Ὀλυμπιάδα. ἔγραψεν ὑποθήκας δι' ἐλεγείας, καὶ μέλη πολεμιστήρια εἰς βιβλία ἔ.

## ΕΚ ΤΩΝ ΤΥΡΤΑΙΟΥ,

### Περὶ τῆς πολεμικῆς ἀρετῆς.

ΟΥΤ' ἂν μνησαίμην, οὔτ' ἐν λόγῳ ἄνδρα τιθείην,
Οὔτε ποδῶν ἀρετῆς, οὔτε παλαισμοσύνης,
Οὐδ' εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
Νικῴη δὲ θέων Θρηίκιον Βορέην·
Οὐδ' εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη.
Πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω πλεῖον·
Οὐδ' εἰ Τανταλίδεω Πέλοπος βασιλεύτερος εἴη,
Γλῶσσαν δ' Ἀδρήστου μειλιχόγηρυν ἔχοι·
Οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν, πλὴν θούριδος ἀλκῆς.
Οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ,
Εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα,
Καὶ δηίων ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος.
Ἥδ' ἀρετὴ, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
Κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ.
Ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ,
Ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
Νωλεμέως, αἰσχρῆς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
Ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος.

*Animúsque ad mortem obeuntem proximum virũ astãs:*
*Hic vir bonus est in bello.*
*Statim verò hostium in fugas vertit phalanges*
*Asperas, suáque industria prælij fluctus regit.*
*Ipse aũt in prima acie prostratus charam amittit vitam,*
*Ciuitatem, & populos, & patrem honestans:*
*Multis per pectus & scutum rotundum vulneribus,*
*Et per thoracem ab anteriore parte sauciatus.*
*Hunc verò lugent, pariter iuuenes, senésque,*
*Et graui desiderio tota ciuitas funus ipsius prosequitur.*
*Huius sepulchrum, & liberi inter homines præclari sunt,*
*Itémque nepotes, & omne posterorum genus,*
*Nunquam eius bona gloria interit, neque nomen ipsius,*
*Sed quamuis sub terra sit, manet immortalis,*
*Quem se fortiter gerentem manentémque, & pugnãtem,*
*Pro patria & liberis vehemens Mars peremerit.*
*Quòd si effugerit fortè mortis longũ inducẽtis soporem,*
*Et victoria potitus splendidã gloriam pugnæ auferat:*
*Ipsum ex æquo omnes iuuenésque senésque colunt,*
*Multísque iucundis affectus ad Orcum abit.*
*Senescens autem inter ciues præcellit, neque quis illum*
*Lædere, nec irreuerenter nec iniustè cupit.*
*Omnésque in sedibus iuuenes simul & æquales*
*Loco cedunt ei, quíque maiores nati sunt.*
*Huius igitur virtutis ad summum peruenire, nunc aliquis*
*Nitatur animo, non remittens bellum.*

## EIUSDEM.

*aliàs Callini.*

*Quandiu torpetis? quando strenuum habebitis animum,*
*O iuuenes? an non veremini vicinos,*
*Ob tantam ignauiam? In pace autem vobis videmini*
*Sedere: sed bellum totam regionem infestat.*
Hunc versum suppleuit Camerarius.
*Quin scutum aliquis arte in prælio hosti obtendat,*
*Et aliquis moriens vltimò iaculum emittat.*

Θαρσύνῃ δὲ πεσεῖν τὸν πλησίον ἄνδρα παρεστώς.
Οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ.
Αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
Τρηχείας, σπουδῇ τ' ἔσχεθε κῦμα μάχης.
Αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμὸν,
Ἄστυ τε καὶ λαοὺς, καὶ πατέρ' εὐκλείσας·
Πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης,
Καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος.
Τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
Ἀργαλέῳ δὲ πόθῳ πᾶσα κέκηδε πόλις.
Καὶ τύμβος, καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι,
Καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω.
Οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ' ὄνομ' αὐτοῦ,
Ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος,
Ὅντιν' ἀριστεύοντα, μένοντά τε, μαρνάμενόν τε
Γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ.
Εἰ δὲ φύγοι μὲν κῆρα τανηλεγέος θανάτοιο,
Νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλοι,
Πάντες μὶν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοὶ,
Πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς ἀΐδην,
Γηράσκων δ' ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
Βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει,
Πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι, οἵ τε κατ' αὐτὸν
Εἴκουσ' ἐκ χώρης, οἵ τε παλαιότεροι.
Ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
Πειράσθω, θυμὸν μὴ μεθιεὶς πολέμου.

## ΤΟΥ ΑΥΤΟΥ·
### ἢ Καλλίνου.

Μέχρις τεῦ κατάκεισθε; κότ' ἄλκιμον ἕξετε θυμὸν,
Ὦ νέοι; οὐδ' αἰδεῖσθ' ἀμφιπερικτίονας,
Ὧδε λίην μεθιέντες; ἐν εἰρήνῃ δὲ δοκεῖτε
Ἧσθ', ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει.
Εὖ νύ τις ἀσπίδα θέσθω ἐναντίβιος πολεμίζων.
Καί τις ἀποθνήσκων ὕστατ' ἀκοντισάτω.

*Honori enim est & ornamento viro pugnare.*
*Pro patria, & liberis, & tenera uxore*
*Aduersus hostes. Mors autem aderit, quandocunque*
*Parcæ destinauerint. Sed age quispiã rectà pergat*
*Extenso in altum gladio, & sub scuto forte pectus*
*Foueat, cùm primùm incipit committi pugna.*
*Non enim mortem effugere fatale est*
*Virum, neque si à maioribus immortalib. genus ducat.*
*Sæpe quis elapsus è pugna sonitúque telorum,*
*Euadit, sed ipsum domi fatalis mors apprehendit.*
*Atque hic sanè nec amicus est populo, nec gratus:*
*Illũ v. magnus & paruus deflent siquid passus fuerit.*
*Uniuersus enim populus virum fortem desiderat*
*Defunctum, viuentem verò instar semidei colit.*
*Nam coràm intuentur illum velut turrim:*
*Quippe solus multorum æquat facinora.*

## EIVSDEM.

*Veruntamen Herculis genus inuictum estis:*
*Confidite, nondum Iouis facies auersa est à nobis.*
*Nec hominum turbam formidetis, aut metuatis,*
*Quin rectà quisque hostibus scutum obuertat*
*Inuisam amissurus animam, mortísque nigrum,*
*Sed solis splendori gratum, subiturus fatum.*
*Nostis enim quàm grauia sint Martis luctuosi opera,*
*Nostis etiam impetum permolesti belli.*
*Et quandoque fugistis ipsi, quandoque alios fugastis,*
*Iuuenes, vtrumque satis experti estis.*
*Nam ex illis qui audent vnà persistentes*
*Cominus in hostes aduersos impetum facere,*
*Perpauci occidunt, retróque seruant populum:*
*Timidorum autem virorum omnis perit virtus.*
*Vix autem aliquis verbis explicare possit,*
*Quanta incurrat mala, vir qui se turpiter dederit.*

Τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
Γῆς πέρι, καὶ παίδων, κουριδίης τ' ἀλόχου,
Δυσμενέσιν. θάνατος δὲ ποτ' ἔσσεται, ὁππότε κεν δὴ
Μοῖραι ἐπικλώσωσ'· ἀλλά τις ἰθὺς ἴτω,
Ἔγχος ἀνασχόμενος, καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
Ἔλσας τὸ πρῶτον μιγνυμένου πολέμου.
Οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν
Ἄνδρ', οὐδ' εἰ προγόνων ᾖ γένος ἀθανάτων.
Πολλάκι δηϊοτῆτα φυγὼν καὶ δοῦπον ἀκόντων
Ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου.
Ἀλλ' ὁ μὲν οὐκ ἔμπας δήμῳ φίλος, οὐδὲ ποθεινός·
Τὸν δ' ὀλίγος στενάχει, καὶ μέγας, ἤν τι πάθῃ.
Λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς
Θνήσκοντος· ζώων δ', ἄξιος ἡμιθέων.
Ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν,
Ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

## ΤΟΥ ΑΥΤΟΥ.

Ἀλλ' Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ.
Θαρσεῖτ', οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει.
Μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε
Ἰθὺς δ' ἐς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω,
Ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας
Αὐγαῖσι κῆρας ἠελίοιο φίλας.
Ἴστε γὰρ ὡς Ἄρεος πολυδακρύτου ἔργ' ἀΐδηλα·
Εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου.
Καὶ μετὰ φευγόντων τε διωκόντων τ' ἐγεύσασθε
Ὦ νέοι, ἀμφοτέρων δ' εἰς κόρον ἠλάσατε.
Οἳ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες,
Ἔς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
Παυρότεροι θνήσκουσι, σαοῦσι δὲ λαὸν ὀπίσσω·
Τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
Οὐδ' εἷς δ' ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα
Ὅσσ', ἂν αἰσχρὰ πάθῃ, γίγνεται ἀνδρὶ κακά.

*Ignominiosum nanque est tergum sauciare*
*Viri fugientis in adverso prælio.*
*Turpe quoque est cadaver in pulvere prostratum,*
*Atque tergo hastæ cuspide vulneratum.*
*Sed progressus quispiam maneat firmus utroque pede*
*Terræ infixo, labia dentibus præmordens:*
*Femora & tibias infernè, nec non pectus humerósque,*
*Lati clypei umbone contegens.*
*Dextra verò manu validam hastam torqueat,*
*Terribilémque in capite cristam motet.*
*Fortia aggrediens facta discat bellare,*
*Nec à telis procul absit clypeum gerens.*
*Sed congrediens quispiam, cominus longa hasta*
*Vel gladio percussurus, hostem capiat:*
*Et pedem pedi iungens, clypeúmque clypeo admovens,*
*Nec non cristam cristæ galeámque aptans galeæ,*
*Pectoríque obverso pectore contra hostem pugnet,*
*Vel gladij capulo, vel hasta prælonga arrepta.*
*Vos autem levi-armatura-milites sub scutis aliunde alij*
*Trepidantes, grandibus pugnate lapidibus,*
*Hastásque leves contorquete in hostes,*
*Vestram prope armaturam permanentes.*

## EIVSDEM.

*Præclarum est, in prima acie si occidat*
*Vir bonus, pro patria sua pugnans.*
*At si quis urbe sua pinguibúsque arvis relictis*
*Mendicare cogitur, hoc omnium est miserrimum:*
*Cum chara matre vagans, & sene parente,*
*Cúmque parvulis filijs, & adolescentula uxore.*
*Invisus namque erit ad quoscunque pervenerit,*
*Indigentia victus & odiosa paupertate.*
*Genus suum infamat, & formam decoram turpat:*
*Omnis generis anxietas, & mala eum sequuntur.*

Ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν
 Ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ·
Αἰσχρὸς δ' ἐστὶ νέκυς κατακείμενος ἐν κονίῃσι
 Νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλάμενος.
Ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισι,
 Στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.
Μηρούς τε κνήμας τε κάτω καὶ στέρνα καὶ ὤμους
 Ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος.
Δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
 Κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς.
Ἔρδων δ' ὄβριμα ἔργα διδασκέσθω πολεμίζειν,
 Μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων.
Ἀλλά τις ἐγγὺς ἰὼν, αὐτοσχεδὸν ἔγχεϊ μακρῷ
 Ἢ ξίφει οὐτάζων δήϊον ἄνδρ' ἑλέτω.
Καὶ πόδα πὰρ ποδὶ θεὶς, καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας,
 Ἐν δὲ λόφον τε λόφῳ καὶ κυνέην κυνέῃ,
Καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω,
 Ἢ ξίφεος κώπην ἢ δόρυ μακρὸν ἑλών.
Ὑμεῖς δ' ὦ γυμνῆτες ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος
 Πτώσσοντες μεγάλοις βάλλετε χερμαδίοις,
Δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτοὺς,
 Τοῖσι πανοπλίαις πλησίον ἱστάμενοι.

## ΤΟΥ ΑΥΤΟΥ.

Τεθνάμεναι γὰρ καλὸν ἐπὶ προμάχοισι πεσόντα
 Ἄνδρ' ἀγαθὸν, περὶ ᾗ πατρίδι μαρνάμενον.
Τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
 Πτωχεύειν, πάντων ἐστ' ἀνιηρότατον.
Πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι,
 Παισί τε σὺν μικροῖς, κουριδίῃ τ' ἀλόχῳ.
Ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται οὕς κεν ἵκηται,
 Χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ.
Αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει.
 Πᾶσα δ' ἀθυμία καὶ κακότης ἕπεται.

*Tandem sic errantem hominem nulla decori cura*
*Afficit, nec pudor ullus in posterum est ei.*
*At nos animo forti pro terra hac pugnemus, & pro liberis*
*Moriamur, nequaquam vita parcentes.*
*O iuuenes, arctè inuicem iuncti pugnate,*
*Neque turpis fuga, aut timoris initium facite.*
*Sed magnum fortémque concipite animo impetum:*
*Nec pugnantes aduersus hostes vitæ rationem habete.*
*Veteranis aũt, quorum genua non amplius sunt agilia,*
*Grandæuis relictis ne fugite.*
*Turpe enim est, si in prima acie prostratus.*
*Iaceat ante iuuenes vir senior,*
*Candidum iam habens caput, barbámque canam,*
*Animam efflans fortem in puluere,*
*Cruenta charis manibus pudenda tegens,*
*(Quæ oculis intueri & turpe & indignum est,)*
*Et denudatus corpore: iuuenibus aũt in omnibus similis*
*Et pulchrum pubertatis florem habeat. (est,*
*Viris quidem mortalibus & mulieribus visu amabilis*
*Est, viuus adhuc strenuus. a. si in prima acie ceciderit.*
*Sed progressus ad pugnã quispiã maneat vtroque pede*
*Terra infixo, labia dentibus premens.*

## EX SVIDA, DE SIMONIDE.

Suidas enumerans multos Simonides,
postremum his notis describit,

Simonides, Crini filius, Amorginus, carminum Iambicorum scriptor, scripsit Elegiam duobus libris, & Iambos. Floruit autem .06. annis post bellum Troianum. Primus Iambos scripsit secundum quosdam.

Εἶθ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὤρη
Γίγνεται, οὔτ' αἰδὼς εἰς ὀπίσω τελέθει.
Θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα, καὶ περὶ παίδων
Θνήσκωμεν, ψυχέων μηκέτι φειδόμενοι.
Ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
Μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε, μηδὲ φόβου.
Ἀλλὰ μέγαν ποιεῖτε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
Μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι.
Τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
Μὴ καταλείποντες φεύγετε τοὺς γεραιούς.
Αἰσχρὸν γὰρ δὴ τοῦτο μετὰ προμάχοισι πεσόντα
Κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
Ἤδη λευκὸν ἔχοντα κάρη, πολιόν τε γένειον,
Θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
Αἱματόεντ' αἰδοῖα φίλαις ἐν χερσὶν ἔχοντα,
(Αἰσχρὰ τά γ' ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν,)
Καὶ χρόα γυμνωθέντα· νέοισι δὲ πάντ' ἐπέοικεν,
Ὄφρ' ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ.
Ἀνδράσι μὲν θνητοῖσιν ἰδεῖν, ἐρατὸς δὲ γυναιξὶ
Ζωὸς ἐών, καλὸς δ' ἐν προμάχοισι πεσών.
Ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισι
Στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

## ΕΚ ΤΩΝ ΣΟΥΙΔΑ,
### Περὶ Σιμωνίδου.

Σιμωνίδης, Κρίνεω, Ἀμοργῖνος, ἰαμβογράφος. ἔγραψεν ἐλεγείαν ἐν βιβλίοις β. ἰάμβους. γέγονε δὲ καὶ αὐτὸς μετ' υ' καὶ ς' ἔτη τῶν Τρωϊκῶν, ἔγραψεν ἰάμβους πρῶτος αὐτὸς κατά τινας.

Notes du mont Royal 씐
www.notesdumontroyal.com
Une ou plusieurs pages sont omises ici volontairement.

AVTHORVM;

# QVORVM POEMATA HOC ENCHIRIDIO CONTINENTUR, Elenchus.

THEOGNIS Megarensis, pag. 7

Annotationes in eundẽ, ex Elia Vineto, pag. 78

PHOCYLIDES, pag. 101

Versus Phocylidi attributi tum apud Athenæum, tum apud Stobæum, pag. 112

Annotationes in Phocylidem, Ex V. Amerpachio, pag. 124

PYTHAGORÆ carmina aurea, pag. 122.

Annotationes in eadem. Ex eodem V. Amerpach. 126.

SOLONIS sententiæ elegiacæ, pag. 131

Eiusdem nonnulla citata tum à Philone, tum à Clemente Alexand. pag. 143

TYRTHÆVS de Virtute bellica, pag. 147.

Alia eiusdem, pag. 149

SIMONIDES de vita humana, pag. 157. & 165.

Eiusdem iambi de mulieribus, pag. 158

Gnomica eiusdem in mortem, pag. 163

RHIANI, de imprudentia, pag. 171

EX NAVMACHII scriptis sen-

tentiæ. pag. 173
Eiusdem vituperium diuitiarum, pag. 176

*PANTASIDIS* in incontinentiam, 177

*Ex ORPHEO*, de Deo, 181

*MIMNERMI* de vita quòd breuis sit, 184

Epigrammata eiusdem, 187
*LINI* in Prudentiam & Spem, 189, & 191
*CALLIMACHI* nonnulla, 191
*EVENI Parij* sententiæ, 193
*ERATOSTHENIS Cyrenæi*, 195
*MENECRATIS Comici*, 197
*POSIDIPPI Cassandrij*, ibid. & 265
*METRODORI Atheniensis*, 199
*TIMOCLIS Comici*, ibidem, & 267

HOS AVTORES INSEQVItur Senariorum libellus, continens diuersorum Poëtarum sententias singulares: quarum capita hæc sunt.

*IN*

*Amantem*, 232
*Amicũ & Amicos*, 230
*Animum*, 352
*Artem*, 226
*Attentionem*, 226
*Auaritiam*, 224
*Audaciam*, 226

*Auxilium*, 224
DE
*Bonis viris*, 200
DE
*Conscientia*, 226
*Consilio*, 204
*Continentia*, 210
*Curiositate*, 224
DE
*Deo*, 212
*Doctrina*, 220
IN
*Ebrietatem* 218
IN
*Famem*, 216
*Fœlicicatem*, 210
*Fidem*, 222
*Fortunam*, 226
*Furtum*, 218
AD
*Gloriam*, 208
AD
*Honorem*, 226
*Hortationem*, 222
*Hospites*, 218
DE
*Improbis*, 224
*Industria*, 232
*Infortunio*, 210
*Ingrata memoria.* 202
*Iniuria*, 228
*Inuidia*, 230
*Iracundia*, 220
*Iudicio, & diuina Iustitia*, 214
*Iureiurando*, 220
*Iusto*, 208
*Iuuentute*, 218
IN
*Laudem*, 210
*Leges*, 218
*Liberos*, 220
*Lucrum* 214
AD
*Medicos*, 214
*Mendacium*, 234
*Moderationem*, 218
*Mœrorem*, 216
*Mortem*, 212
*Mulierem*, 206
*Mutuum*, 234
IN
*Naturam*, 232
*Necessitatem*, 200
*Nobilitatem*, 210
*Nouercam*, 218
*Nuptias*, 204
DE
*Occultis*, 216
*Odio*, 212
*Opibus*, 224
*Oratione*, 236
DE
*Parentibus*, 206
*Paupertate*, 222
*Peccato*, 200
*Pietate*, 212
*Pœnitentia*, 218
*Populo*, 208
*Precibus*, 212
*Prudentia*, 232
*Pulchritudine*, 234

| | | | |
|---|---|---|---|
| IN | | *Superbiam,* | 228 |
| *Regem,* | 202 | DE | |
| *Risum,* | 204 | *Tempore,* | 214, & 234 |
| IN | | *Tolerantia,* | 228 |
| *Sanitatem,* | 228 | DE | |
| *Senectutem,* | 204 | *Veritate,* | 202 |
| *Seruos,* | 210 | *Vita,* | 202, & 212 |
| *Silentium,* | 226 | *Vituperio,* | 234 |
| *Somnum,* | 228 | *Voluptate,* | 212 |
| *Spem,* | 210 | *Virtute,* | 200 |

*Ex Io. Hertelij versione.*

ADDITA SVNT EIVSDEM cum superioribus argumenti nonnulla ex veterum Comicorum fragmentis Gnomica, ab H. Stephano versibus expressa.

PHILEMONIS, qui nouæ seu mediæ Comediæ Poëta fuit, pag. 235

| | |
|---|---|
| ALEXIDIS *Thurij,* | 240 |
| AMPHIDIS *Atheniensis,* | 242 |
| ANAXANDRIDIS *Rhodij,* | 243 |
| ANTIPHANIS *Carystij,* | 244 |
| APOLLODORI *Geloi,* | 248 |
| DIPHILI *Sinopensis,* | 249 |
| MENANDRI *Atheniensis,* | 250 |
| DIODORI *Sinopensis,* | 258 |

*EVBVLI Athenienſis,* 259
*HIPPARCHI,* [illegible]
*NICOSTRATI,* 261
*PHERECRATIS Athenienſis,* 261
*CRATETIS Athenienſis,* 265
*ERIPHI* 265
*CLEARCHI,* 207

FINIS.